πάλιν γὰρ ἐκ τινῶν καὶ οἱ δικάζοντες περὶ πάντων αἱρέσει, ἢ ἐκ τινῶν περὶ πάντων κλήρῳ· ἢ τὰ μὲν κλήρῳ, τὰ δὲ αἱρέσει, ἢ ἔνια δικαστήρια περὶ τῶν αὐτῶν ἐκ κληρωτῶν καὶ αἱρετῶν. οὗτοι μὲν οὖν ὥσπερ ἐλέχθησαν, οἱ τρόποι τοῖς εἰρημένοις. ἔτι δὲ τὰ αὐτὰ συνδυαζόμενα. λέγω δ' οἷον, τὰ μὲν ἐκ πάντων, τὰ δ' ἐκ τινῶν, τὰ δ' ἐξ ἀμφοῖν· οἷον, εἰ τοῦ αὐτοῦ δικαστηρίου εἶεν, οἱ μὲν ἐκ πάντων, οἱ δ' ἐκ τινῶν· (B) καὶ ἢ κλήρῳ, ἢ αἱρέσει, ἢ ἀμφοῖν. ὅσοις μὲν οὖν ἐνδέχεται τρόποις εἶναι τὰ δικαστήρια, εἴρηται. τούτων δὲ, τὰ μὲν πρῶτα, δημοτικά, ὅσα ἐκ πάντων, ἢ περὶ πάντων· τὰ δὲ δεύτερα, ὀλιγαρχικὰ, ὅσα ἐκ τινῶν περὶ πάντων· τὰ δὲ τρίτα, ἀριστοκρατικὰ, καὶ πολιτικὰ, ὅσα τὰ μὲν ἐκ πάντων, τὰ δ' ἐκ τινῶν.

A rursus enim ex quibus, & qui iudicant de omnibus per electionem, aut ex quibus de omnibus per sortem, vel partim sorte, partim electione, vel quædam iudicia de eisdem ex sortitis & electis. Isti ergo, vt dictum est, sunt modi in prædictis. Insuper eadem conduplicata, vt quædam ex omnibus. quædam ex omnibus, quædam ex vtrisque. ceu si eiusdem iudicij essent, alij ex omnibus, alij ex quibusdam: & vel per sortem vel per electionem, vel ex amba- B bus. Quot igitur modi iudiciorum esse possunt, dictum est. Horum autem prima, popularia sunt, quæcunque ex omnibus vel de omnibus. Secunda, paucorum potentium, quæcunque ex quibusdam de omnibus. Tertia optimatum & ciuilia, quæcunque partim ex omnibus, partim ex quibusdam.

## ΑΡΙΣΤΟΤΕΛΟΥΣ πολιτικῶν τὸ Ε.

### Κεφάλαιον α.

C

ΠΕΡΙ μὲν οὖν τῶν ἄλλων ὧν προειλόμεθα, σχεδὸν εἴρηται περὶ πάντων. ἐκ τίνων δὲ μεταβάλλουσιν αἱ πολιτεῖαι, καὶ πόσων, καὶ ποίων, καὶ τίνες ἑκάστης πολιτείας φθοραὶ, καὶ ἐκ ποίων εἰς ποίας μάλιστα μεθίστανται· ἔτι δὲ σωτηρίαι (D) τίνες καὶ κοινῇ καὶ χωρὶς ἑκάστης εἰσίν· ἔτι δὲ διὰ τίνων ἂν μάλιστα σώζοιτο τῶν πολιτειῶν ἑκάστη, σκεπτέον ἐφεξῆς τοῖς εἰρημένοις. δεῖ δὲ πρῶτον ὑπολαβεῖν τὴν ἀρχὴν, ὅτι πολλαὶ γεγένηνται πολιτεῖαι, πάντων μὲν ὁμολογούντων τὸ δίκαιον, καὶ τὸ κατ' ἀναλογίαν ἴσον, τούτου δ' ἁμαρτανόντων, ὥσπερ εἴρηται καὶ πρότερον. δῆμος μὲν γὰρ ἐγένετο, ἐκ τοῦ (E) ἴσους ὁπουοῦν ὄντας, οἴεσθαι ἁπλῶς ἴσους εἶναι· ὅτι γὰρ ἐλεύθεροι πάντες ὁμοίως, ἁπλῶς εἶναι νομίζουσιν. ὀλιγαρχία δὲ, ἐκ τοῦ ἀνίσους ἕν τι ὄντας, ὅλως εἶναι ἀνίσους ὑπολαμβάνειν· κατ' οὐσίαν γὰρ ἄνισοι ὄντες, ἁπλῶς ἄνισοι ὑπολαμβάνουσιν εἶναι. εἶτα, οἱ μὲν, ὡς ἴσοι ὄντες, πάντων τῶν ἴσων ἀξιοῦσι μετέχειν· οἱ δ', ὡς ἄνισοι ὄντες, πλεονεκτεῖν ζητοῦσι· τὸ γὰρ (F) πλεῖον, ἄνισον. ἔχουσι μὲν οὖν τι πᾶσαι δίκαιον· ἡμαρτημέναι δ' ἁπλῶς εἰσί. καὶ διὰ ταύτην τὴν αἰτίαν, ὅταν μὴ κατὰ τὴν ὑπόληψιν, ἣν ἑκάτεροι τυγχάνουσιν ἔχοντες, μετέχωσι τῆς πολιτείας, στασιάζουσι.

## ARISTOTELIS Politicorum LIBER QVINTVS.

### CAPVT I.

DE aliis quidem omnibus, de quibus dicere proposuimus, ferè dictum est. ex quibus autem mutantur respublicæ, & quot ea sint & qualia, & quænam sint singula- D rum rerumpublicarum corruptiones & labes, & ex qualibus in quales maximè mutantur: præterea quæ remedia generaliter & specialiter cuiusque, & per quæ maximè conseruari possit vnaquæque rerumpublicarum, considerandum deinceps erit. Oportet autem prius illud principium assumere, quòd plures sunt formæ rerumpublicarum. & in his confitentur quidem omnes iustitiam & conuenien- E tem æquitatem, sed aberrant ab ea, vt est antè dictum. Nam populus constat ex iis qui cùm sint secundum quid pares, putant se simpliciter pares. Paucorum verò potentia ex iis qui cùm præstent aliqua re, se in cunctis præstare arbitrantur. opibus enim superantes, simpliciter existimant superare. Deinde verò illi quasi pares existentes in cunctis, dignum putant se F parem portionem habere. hi autem quasi superiores sint, maiora sibi competere arbitrantur: maius enim inæquale. Habent verò omnes aliquid iustum, sed simpliciter aberrant. Et ob eam causam, quando non pro opinione sua vtrique reportent de republica, seditiones concitant.